χάριν οὐ προλαβὼν
παῖδ᾽ εἰς οἴκους οἰκίζεις·
ὁ δ᾽ ἐμὸς γενέτας καὶ σὸς ἀμαθὴς
οἰωνοῖς ἔρρει συλαθείς, οἰκεῖα
σπάργανα ματέρος ἐξαλλάξας.
μισεῖ σ᾽ ἁ Δᾶλος καὶ δάφνας
ἔρνεα φοίνικα παρ᾽ ἁβροκόμαν,
ἔνθα λοχεύματα σέμν᾽ ἐλοχεύσατο
Λατὼ Δίοισί σε καρποῖς.
ΧΟ. οἴμοι, μέγας θησαυρὸς ὡς ἀνοίγνυται
κακῶν, ἐφ᾽ οἷσι πᾶς ἂν ἐκβάλοι δάκρυ.
ΠΑΙ. ὦ θύγατερ, οἴκτου σὸν βλέπων ἐμπίπλαμαι
πρόσωπον, ἔξω δ᾽ ἐγενόμην γνώμης ἐμῆς.
κακῶν γὰρ ἄρτι κῦμ᾽ ὑπεξαντλῶν φρενί,
πρύμνηθεν αἴρει μ᾽ ἄλλο σῶν λόγων ὕπο,
οὓς ἐκβαλοῦσα τῶν παρεστώτων κακῶν
μετῆλθες ἄλλων πημάτων καινὰς ὁδούς.
τί φής; τίνα λόγον Λοξίου κατηγορεῖς;
ποῖον τεκεῖν φὴς παῖδα; ποῦ θεῖναι πόλεως
θηρσὶν φίλον τύμβευμ᾽; ἄνελθέ μοι πάλιν.
ΚΡ. αἰσχύνομαι μέν σ᾽, ὦ γέρον, λέξω δ᾽ ὅμως.
ΠΑΙ. ὡς συστενάζειν γ᾽ οἶδα γενναίως φίλοις.
ΚΡ. ἄκουε τοίνυν· οἶσθα Κεκροπίας πέτρας
πρόσβορρον ἄντρον, ἃς Μακρὰς κικλήσκομεν;
ΠΑΙ. οἶδ᾽, ἔνθα Πανὸς ἄδυτα καὶ βωμοὶ πέλας.
ΚΡ. ἐνταῦθ᾽ ἀγῶνα δεινὸν ἠγωνίσμεθα.
ΠΑΙ. τίν᾽; ὡς ἀπαντᾷ δάκρυά μοι τοῖς σοῖς λόγοις.
ΚΡ. Φοίβῳ ξυνῆψ᾽ ἄκουσα δύστηνον γάμον.
ΠΑΙ. ὦ θύγατερ, ἆρ᾽ ἦν ταῦθ᾽ ἅ γ᾽ ᾐσθόμην ἐγώ;
ΚΡ. οὐκ οἶδ᾽· ἀληθῆ δ᾽ εἰ λέγεις φαίημεν ἄν.
ΠΑΙ. νόσον κρυφαίαν ἡνίκ᾽ ἔστενες λάθρᾳ;
ΚΡ. τοῦτ᾽ ἦν· ἃ νῦν σοι φανερὰ σημαίνω κακά.

---

916. *σός B σός γ᾽ C* 920. *φοίνικα*] Brodaeus, *φοίνια* libri. 925. *ὦ*] addidit Barnesius. *οἴκτου*] Nauckius, *οὔτοι* libri. 927. *κακόν B κακῶν C* 928. *ὕπερ* (πο) libri. 930. *καινάς*] Musgravius, *κακάς* libri. 935. *ὥς σοι στενάζειν B ὡς συστενάζειν C*